τῶν πτερωτάτων ἐνισχύσαντα, πρὸ τῶν πανεκλάμπρων ὑμετέρων ποδῶν παρέστησαν φέροντα τάτε Ἰατρικὰ καὶ τὰ ἐπίμικτα ταῦτα ποιημάτια προσφωνήσοντα, ἵν᾽ ὑπὸ τῇ ὑμετέρα ἀῤῥαγεῖ προστασίᾳ αὐτάτε ἑαυτῶν καλλίω, καὶ τοῖς ἐντευξομένοις δὲ περισπέδαστα γένηται, ὡς τηλικούτου ἩΓΕΜΌΝΟΣ προστασίας εὐμοιρήσαντα. Τίνι δὲ δικαιότερον ἢ καὶ οἰκειότερον προσφωνηθήσεσθαι ἔμελλον; ἤ, Ὃν ἡ Ἑλλὰς φωστῆρα τηλαυγέστατον ἐφ᾽ ἡμῶν οἶδε τε καὶ εἰς γάνος ἑαυτῆς καὶ σέμνωμα ἐναμβρυνομένη προβάλλεται· Ὧ, καὶ τὸ χριστεπώνυμον τοῦ ὀρθοδόξου ἡμῶν γένους σύστημα ἐπιστηρίζει τὰς χρηστὰς τῆς ἑαυτῶν εὐκλείας ἐλπίδας. Οὗ τοὺς μεγαλοπρεπεῖς καὶ ἰδιάζοντας προσωπικοὺς χαρακ-

τῆ-